www.tezaurliturgic.ro

# ΟΣΙΟΥ
# ΝΙΚΗΦΟΡΟΥ
# ΤΟΥ ΛΕΠΡΟΥ




## ΑΚΟΛΟΥΘΙΑ
και
## Παρακλητικος Κανων

www.tezaurliturgic.ro

ΕΚΔΟΣΕΙΣ "Ο ΑΓΙΟΣ ΣΤΕΦΑΝΟΣ"

ΑΘΗΝΑΙ

# ΠΑΝΗΓΥΡΙΚΗ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

**ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΛΕΠΡΟΥ**

(ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης)

**ΙΑΝΟΥΑΡΙΟΥ Δ΄**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια:**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.**

Τοῦ Ἀνθίμου ταῖς ῥήσεσι, τοῦ ἐν Χίῳ ὑπήκουσας, Νικηφόρε πάντιμε, καί ἐβάδισας· τῶν Μοναζόντων τοῖς ἴχνεσιν, νηστείαν γάρ ἔστερξας, ἀγρυπνίαν σιωπήν, καί εὐχήν ἀδιάλειπτον· μή φεισάμενος, τοῦ λεπρῶντος σαρκίου σου στεῤῥόφρον, ἀλλ᾽ ἀσκήσει ἀπειργάσω, τοῦτο χιόνος λευκότερον.

Ἀλγηδόνας ἐν σώματι, ἐκ τῆς λέπρας ὑπέμεινας, ὡς Ἰώβ γηθόμενος, καρτερόψυχε· εἶτα ὀμμάτων σου πήρωσιν, μελῶν τε παράλυσιν, Νικηφόρε ἀλλ᾽ ἀρθείς, μετεώρως ὡς εἶδε σε· ὁ Εὐμένιος, ὁ σεπτός μαθητής σου ὡς ὁ Παῦλος, κάλλη θεῖα ἐποπτεύσω, ὧν νῦν τρυφᾷς ἀγαλλόμενος.

Τῶν χαρίτων κειμήλιον, Νικηφόρε σε ἔγνωμεν, θησαυρόν πολύτιμον, μαργαρίτην τε· τῆς Ἐκκλησίας καί στήριγμα, διδάσκαλον ἔμπειρον, ἀενάου προσευχῆς, θλιβομένων παρήγορον· ταπεινώσεως, ἀκτησίας τε τύπον εὐωδίας, μυριπνόου σε ταμεῖον, κρήνην θαυμάτων ἀείῤῥουν τε.

Χριστωνύμων πληρώματα, ἑορτήν νῦν χαρμόσυνον, συγκροτοῦντες ᾄσμασιν, δεῦτε στέψωμεν· τόν Νικηφόρον τόν μάκαρα, τόν ἄρτι τελέσαντα, λέπρας τρίβον τήν στενήν, καί τήν κλῆσιν τοῖς πράγμασι· δικαιώσαντα, ὡς νικήσαντα κράτος τοῦ δολίου, καρτερίᾳ ἀνενδότῳ, τῶν ἀλγεινῶν καί τῶν θλίψεων.

**Δόξα. Ἦχος α΄.**

Τόν καλλίνικον στεφανίτην, τῆς οὐρανίου στρατολογίας, δεῦτε νικητικῶς πάντες καταστέψωμεν. Νικηφόρον τόν λεπρόν, ἀγογγύστως τόν βαστάντα τόν σταυρόν, τῆς πανωδύνου ἀσθενείας. Ὑπομονῇ οὖν μακρᾷ δοκιμασθείς, ὑπέρ χρυσίου τοῦ προσκαίρου λάμπει, καί τό διάδημα τοῦ κάλλους ἐδέξατο, ἐκ τῆς χειρός Κυρίου. Αὐτοῦ τάς ἀριστείας ἀναμέλψωμεν, ἵνα κτησώμεθα πρέσβυν τοῦτον πρός Θεόν τόν παντοδύναμον, τοῦ δοῦναι πᾶσι ἱλασμόν καί τό μέγα ἔλεος.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Τῶν ὑδάτων πᾶσα ἡ φύσις, ἀγάλλου νῦν φαιδρῶς καί σκίρτησον, καί σύ Ἰορδάνη ποταμέ, τά ῥεῖθρα σου ἐν μεγαλωσύνῃ προετοίμασον. Ἰδού γάρ ἐπί σέ, ἔρχεται τοῦ βαπτισθῆναι θελήματι, ὁ μέγας Βασιλεύς, καί τῶν Ἁγίων Ἅγιος Θεός, ἵνα σώσῃ καί ἁγιάσῃ, τούς προσκυνοῦντας Αὐτόν, καί ἐν πίστει βοῶντας· ὁ τῶν θαυμασίων Θεός, δόξα σοι.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ἔαρ ὡς θαυμαστόν, παθῶν ἐν τῷ χειμῶνι, ὁ θεῖος Νικηφόρος, ἀνέτειλε καί θάλψιν, μηνύει τήν οὐράνιον.

**Στίχος: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Λέπραν τῆς σῆς σαρκός, βαστάσας Νικηφόρε, ὡς ὁ Ἰώβ γενναίως, σύν τούτῳ ἡ ψυχή σου, Θεοῦ τῷ θρόνῳ ἵσταται.

**Στίχος: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.**

Κρήτη ἐν σοί σκιρτᾷ, καί Χίος ἐπαγάλλει, σῇ μνήμῃ Νικηφόρε, τῶν οὐρανῶν δέ πᾶσαι, δυνάμεις συγχορεύουσιν.

**Δόξα. (Τριαδικόν).**

Πάτερ σύν τῷ Υἱῷ, καί Πνεύματι τῷ θείῳ, Μονάς ἡ Τρισαγία, νῦν ἐκ πιστῶν προσδέχου, τόν ὕμνον τόν τρισάγιον.

**Καί νῦν. Τῆς ἑορτῆς.**

Τέρπου ὦ Βαπτιστά, θεόφρον Ἰωάννη, ἰδού γάρ ὁ Δεσπότης, ἐκ σοῦ τοῦ βαπτισθῆναι, ἐν Ἰορδάνῃ ἔρχεται.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους στ΄. καί ψάλλομεν τά ἀκόλουθα:**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Ὡς ἔαρ χειμῶνος ἐν καιρῷ, Νικηφόρου σήμερον, λεπροῦ ἡ μνήμη ἀνέτειλε· κρυμόν σκεδάζουσα, τῶν παθῶν καί θάλψιν, ταῖς ψυχαῖς παρέχουσα, καί θείαν ἀληθῶς ἀγαλλίασιν, τῆς γῆς τό πρόσωπον, ὑπερκάλλως ὡραΐζουσα, λαμπηδόσι πολιτείας κρείττονος.

Τῆς λέπρας ἀθλήσας τῷ πυρί, Νικηφόρε πάντιμε, ὑπέρ χρυσίου διέλαμψας· Χριστοῦ τό ἄῤῥητον, ὑπεμφαίνων κάλλος, καί Αὐτοῦ γενόμενος, λαμπάς ἐπάνω ὄρους ἐκχέουσα, τό φῶς τό ἄδυτον, καί τῇ θείᾳ ἱλαρότητι, δαδουχοῦσα τῶν πιστῶν τό πλήρωμα.

Ἡ Κρήτη ἀγάλλου σόν υἱόν, Νικηφόρον βλέπουσα, λευχειμονοῦντα καί στέφανον· τῆς δόξης φέροντα, τῇ χωνείᾳ λέπρας, χαλκευθείς γάρ ἔμεινε, ἀδάμαντος γεώδους στεῤῥότερος, καί νῦν τόν ἄφθαρτον, διανέμει πλοῦτον ἅπασι, τοῖς τούς ἄθλους αὐτοῦ μακαρίζουσιν.

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.**

Ὢ τοῦ ἐξαισίου θαύματος! Ἐν τῇ λεπρώσῃ σαρκί, Νικηφόρος ὁ πάντιμος, Ἀγγέλων ἐπέφθασε, καθαρό-

τητα ἄμετρον· καθυπομείνας ἄλγη ἐπώδυνα· ἐν εὐφροσύνῃ νῦν ἐπαγάλλεται. Τούτου δεήσεσιν, ἱεραῖς Φιλάνθρωπε, τῆς χαρμονῆς, τῆς ἐπουρανίου σου, ἡμᾶς ἀξίωσον.

Χαίροις Νικηφόρε πάνσεπτε! Ὑπομονῆς ὁ κανών, καρτερίας ὑπόδειγμα, τελείας ἀσκήσεως, χαρακτήρ θεοτύπωτος· τῆς ἐγκρατείας φίλος ἐράσμιος· ἀκτημοσύνης μέγας διδάσκαλος· ὕψος εἰς ἄρρητον, ἐν σαρκί αἱρόμενος, τοῦ οὐρανοῦ, εἶδες τά θαυμάσια, ὡς Παῦλος πρότερον.

Πύκτα εὐσεβείας ἄριστε, τοῦ πολυάθλου Ἰώβ, μιμητά προθυμότατε, Λαζάρου τοῦ πένητος, ἐν πληγαῖς ἰσοστάσιε· ἐν τῇ καμίνῳ λέπρας ὡς πρότερον· παῖδες οἱ θεῖοι ἔστης ἀνάλωτος· Χαίρων τε ἔμελπες, Νικηφόρε ὄνομα, τό τοῦ Θεοῦ, ὅν ὑπέρ τῶν φίλων σου, ἀεί δυσώπησον.

**Δόξα. Ἦχος πλ. β΄.**

Τῆς εὐσεβείας τόν ἐραστήν, τόν τῆς καλῆς ἀθλήσεως πύκτην, ὑπομονῆς τό κεφάλαιον, Νικηφόρον τόν σεβάσμιον, δεῦτε συμφώνως τιμήσωμεν. Οὗτος γάρ διελθών, διά πυρός καί ὕδατος, τῆς πανωδύνου λέπρας, ἐξῆλθεν εἰς ἀναψυχήν εὐφρόσυνον. Καί τῇ χωνείᾳ τῶν θλίψεων χαλκευθείς, ὑπέρ χρυσίου διαλάμπει, πάντων ταῖς ψυχαῖς παρέχων, χαρμονήν τήν σωτήριον.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Δεῦτε σήμερον πιστοί, ὡς δοῦλοι τοῦ πάντων Θεοῦ καί Βασιλέως, φαιδρῶς προεορτάσωμεν, γηθόμενοι τῷ πνεύματι. Καί τῆς καρδίας τά ὄμματα, πρός Ἰορδάνην ποταμόν εὐσεβῶς ἄρωμεν, ὅπως ἴδωμεν τόν Ἰωάννην, ὡς δοῦλον

ὑπηκόως πορευόμενον τοῦ βαπτίσαι τῇ χειρί, τόν μόνον ἀναμάρτητον. Τούτῳ βοῶντες εἴπωμεν· μή διαλίπῃς πρεσβεύειν ὑπέρ πάντων Βαπτιστά, ὅπως τῷ Κυρίῳ εὐπειθῶς δουλεύοντες, μισθόν κομισώμεθα παρ᾽ Αὐτοῦ, τήν ἀνεκλάλητον χαράν, εἰς τόν νυμφῶνα τόν οὐράνιον.

## Εἴσοδος – Φῶς ἱλαρόν – τό Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. γ΄ 1).

Δικαίων ψυχαί ἐν χειρί Θεοῦ, καί οὐ μή ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καί ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γάρ ἐν ὄψει ἀνθρώπων ἐάν κολασθῶσιν, ἡ ἐλπίς αὐτῶν ἀθανασίας πλήρης. Καί ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεός ἐπείρασεν αὐτούς, καί εὗρεν αὐτούς ἀξίους ἑαυτοῦ. Ὡς χρυσόν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καί ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καί ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καί κρατήσουσι λαῶν καί βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καί οἱ πιστοί ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. ε΄ 15).

Δίκαιοι εἰς τόν αἰῶνα ζῶσι, καί ἐν Κυρίῳ ὁ μισθός αὐτῶν, καί ἡ φροντίς αὐτῶν παρά Ὑψίστῳ. Διά τοῦτο λήψονται τό βασίλειον τῆς εὐπρεπείας, καί τό διάδημα τοῦ κάλλους ἐκ χειρός Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει

αὐτούς, καί τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τόν ζῆλον αὐτοῦ, καί ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καί περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δέ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπί τούς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν· καί ὡς ἀπό εὐκύκλου τόξου τῶν νεφῶν, ἐπί σκοπόν ἁλοῦνται· καί ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοί δέ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καί ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καί ἐρημώσει πᾶσαν τήν γῆν ἀνομία, καί ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καί σύνετε· μάθετε δικασταί περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καί γεγαυρωμένοι ἐπί ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρά Κυρίου ἡ κράτησις ὑμῖν, καί ἡ δυναστεία παρά Ὑψίστου.

**Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα (Κεφ. δ´ 7).**

Δίκαιος, ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γάρ τίμιον, οὐ τό πολυχρόνιον, οὐδέ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιά δέ ἐστι φρόνησις ἀνθρώποις, καί ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καί ζῶν μεταξύ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μή κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχήν αὐτοῦ. Βασκανία γάρ φαυλότητος ἀμαυροῖ τά καλά, καί ῥεμβασμός ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστή γάρ ἦν Κυρίῳ ἡ ψυχή αὐτοῦ· διά τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δέ λαοί, ἰδόντες καί μή νοήσαντες, μηδέ θέντες ἐπί διανοίᾳ τό τοιοῦτον· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καί ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙC ΤΗΝ ΛΙΤΗΝ

## Ἦχος α΄.

Τοῦ Χριστοῦ τόν ἀγαθόν καί πιστότατον δοῦλον, Νικηφόρον τόν μακάριον, δεῦτε πάντες ἐν ᾠδαῖς μακαρίσωμεν. Τό γάρ τάλαντον αὐτοῦ, φιλοπόνως ἐργασάμενος, ἐν καρτερίᾳ ἀρίστῃ, καί θαυμαστῇ ὑπομονῇ, εἰς ἑκατόν ἐπηύξησεν. Ὅθεν καί εἰσελθών, εἰς νυμφῶνα τῆς δόξης, πρεσβεύει σύν δικαίοις πᾶσι, τοῦ σωθῆναι τάς ψυχάς ἡμῶν.

## Ἦχος β΄.

Ἀστέρα τόν πάμφωτον, τόν ἐκ Κρήτης ἄρτι ἀνατείλαντα, καί πᾶσαν τήν κτίσιν, φωτί αὐτοῦ καινοπρεπεστάτῳ αὐγάσαντα, δεῦτε φωτωνύμοις ᾠδαῖς μεγαλύνωμεν. Νικηφόρον τόν θεόφρονα, χαίροις αὐτῷ λέγοντες, υἱέ ἡμέρας ἀγλαόφωτε, ὁ τήν κλῆσιν σου δικαιώσας ταῖς πράξεσιν, ὡς νικήσας τῆς σαρκός τό φρόνημα, καί στεφθείς τῷ τῆς δόξης διαδήματι. Δόξαν δός καί ἡμᾶς εὑρεῖν, τήν εἰς τούς αἰῶνας διαμένουσαν.

## Ἦχος γ΄.

Cχῆμα τό ἰσάγγελον, τῶν Μοναζόντων ἐτίμησας καλῶς, Νικηφόρε θεοτίμητε τῶν Ἀγγέλων ἰσοστάσιε. Ἀγρυπνίαις γάρ πολλαῖς, νηστείαις καί προσευχαῖς, τήν

λεπρῶσαν σάρκα σου νεκρώσας, εἰς οὐρανούς ἦρας εὐπειθῶς, τῆς σῆς ψυχῆς τά ὄμματα· ἔνθα σώματι ἀρθείς, Θεόν ἐνοπτρίσω καί τά ἐκεῖ κάλλη ἐθεάσω τά ἀθέατα. Πρέσβευε σύν Ἀγγέλοις ἐκτενῶς, τῶν χαμαιζήλων παθῶν ἡμᾶς χωρισθῆναι, ἵνα Θεῷ ἀρέσαι ἀξιωθῶμεν, τῷ βραβεύοντι τοῖς φίλοις Αὐτοῦ, εἰρήνην καί τό μέγα ἔλεος.

**Ἦχος δ΄.**

Τόν θησαυρόν τόν μή φθειρόμενον, εὗρες ἐν οὐρανοῖς Νικηφόρε πανόλβιε· καί γάρ ἠγάπας τήν πτωχείαν, ὑπέρ χρυσίον καί ἀργύριον, ἀκτημοσύνην ᾑρετίσω καί ὑπακοήν ὡσαύτως, ὑπέρ πᾶσαν πολυτέλειαν. Τύπος δέ ἐγένου πραότητος, τῆς εἰρήνης ἐραστής, ἀοργησίας φίλος καί διδάσκαλος καί πάσης ταπεινώσεως ἐργάτης δόκιμος. Ταύτας καί ἡμᾶς ἐργάζεσθαι ἀξίωσον, ἐν καθαρῷ συνειδότι, ἵνα πλουσίας χάριτος τάς δωρεάς, παρά Θεοῦ κομισώμεθα.

**Δόξα. Ἦχος πλ. α΄.**

Ἡ μεγαλόνησος Κρήτη, οἷα μήτηρ σου ἱερά, καυχᾶται τῇ σεπτῇ σου ἑορτῇ, Νικηφόρε μεγαλώνυμε. Χίος δέ μέγα σεμνύνεται, ὅτι ἐν ταύτῃ ἐγκαρτερήσας, ἆθλα μεγάλα ἐπέγραψας τῆς ὑπομονῆς, καί τάς ἀριστείας κατώρθωσας τάς λαμπράς. Θεόν ἐδόξασας τόν θαυμαστόν ἐν Ἁγίοις, τόν σέ ἀντιδοξάσαντα ἐν θαύμασι πολλοῖς, καί δείξαντά σε τοῦ Πνεύματος δοχεῖον, καί τῶν λειψάνων σου τήν θήκην κρήνην οὐρανίου εὐωδίας τοῖς πιστοῖς πολύῤῥυτον. Αὐτήν προσκυνοῦντες εὐλαβῶς, χάριν κομιζόμεθα ζωῆς, καί τό μέγα ἔλεος.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Αἱ τῶν Ἀσωμάτων Ἀγγέλων τάξεις, δοξολογίαις ἱεραῖς αἰνοῦσι, τό τοῦ Δεσπότου Χριστοῦ, μέγα καί φρικτόν ἐπί τῆς γῆς μυστήριον. Ὁ γάρ τούτου Πρόδρομος Ἰωάννης, ὁ τῆς ἐρήμου θεοπρόβλητος κῆρυξ, καί τῆς οἰκουμένης λύχνος φωτεινός, ὁ τοῖς Ἀγγέλοις τῇ πολιτείᾳ ἰσότιμος, μέλλει τῇ πηλίνῃ αὐτοῦ χειρί, βαπτίσαι ἐν ποταμῷ τό πῦρ τῆς Θεότητος. Ὅθεν τῶν ναμάτων τῆς δροσοβόλου χάριτος, ὡς κοινωνοῦντες οἱ πιστοί, βοήσωμεν σύν Ἀγγέλοις, καθαρωτάτοις χείλεσι ψυχῆς, ὕμνον τόν τρισάγιον, εἰς τούς αἰῶνας σύν αὐτοῖς ἀγαλλιώμενοι.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ὁ ὑπηρέτης Χριστοῦ, Σιών τῆς θείας μαργαρίτης πολύτιμος, ὁ τύπος τῆς ἐγκρατείας, ἀδιαλείπτου εὐχῆς, θησαυρός ὁ μέγας, καί διδάσκαλος· χαρίτων ὁ πλήρης, τῆς διοράσεως ἔσοπτρον, ἀκτημοσύνης, τῆς τελείας ὑπόδειγμα, ταπεινώσεως, τῆς βαθείας ἀνάβασις· λόγοις παρηγορίας σου, ὁ στέργων τούς κάμνοντας, τοῦ Παρακλήτου ὁ νέμων, τήν εὐωδίαν τήν ἄῤῥητον, σεπτέ Νικηφόρε, τῶν λεπρῶν ἡ εὐκοσμία, καί σέλας ἄδυτον.

**Στίχος: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.**

Λέπραν τῆς σῆς σαρκός ὡς Ἰώβ, γενναιοφρόνως Νικηφόρε ἐβάστασας, καρδίᾳ καθαρωτάτῃ, εὐχαριστῶν τῷ Θεῷ, καί ὁδεύων τρίβον, τήν σωτήριον· Ἀγγέλων τό σχῆμα,

ὁ νουνεχῶς ἐνδυσάμενος, καθυπακούσας, τοῦ Ἀνθίμου διδάγμασι, καί ἀσκήσεως, θεῖος στῦλος γενόμενος· πύκτης ὁ ἐμπειρότατος, τῆς ἄνω ἀθλήσεως, τῆς καρτερίας ὁ ἄκμων, ὑπομονῆς τό ἐκσφράγισμα, ἀστήρ ὁ ἐκφαίνων, τοῖς ἐν σκότει καθημένοις, Θεοῦ λαμπρότητα.

**Στίχος: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.**

Κρήτη περιχαρῶς νῦν σκιρτᾷ, ὡς λαμπροφόρον σέ υἱόν ἀναδείξασα, καί νέαθλον στεφανίτην, ὦ Νικηφόρε λεπρέ, τῆς χιόνος πλέον, καθαρώτερε· ἡ πόλις συνάμα, τοῦ Ἀλεξάνδρου σεμνύνεται, καί νῆσος Χίος, εὐκλεῶς ἐπαγάλλεται, ἥν ηὐλόγησας, τοῖς τιμίοις ἱδρῶσι σου. Ἄστυ τῶν Ἀθηναίων δέ, κλεινόν συνευφραίνεται, ἐν ᾧ τῆς πίστεως δρόμον, ἐν καρτερίᾳ τετέλεκας, Ἐδέμ δέ συγχαίρει, ἧς ἐν κόλποις σου τό πνεῦμα, ἀεί αὐλίζεται.

**Δόξα. Ἦχος πλ. α΄.**

Τήν οὐρανομήκη κλίμακα, τῶν θείων ἀρετῶν ἀναβέβηκας, Νικηφόρε οὐρανόφρον, χειραγωγούμενος καλῶς, ταῖς θεοσόφοις νουθεσίαις, τοῦ μεγάλου διδασκάλου σου Ἀνθίμου. Ὅς ἐν ἄθλοις ὁσιότητος, τήν νῆσον Χίον ἐν ὑστέροις χρόνοις ἡγίασεν, καί θαυμασίοις ἱεροῖς, τήν Ἐκκλησίαν πᾶσαν ἐξαισίως κατελάμπρυνεν. Σύν τούτῳ Θεόν ἱκέτευε, τοῦ ἀξιῶσαι καί ἡμᾶς τῆς θείας λαμπρότητος, ἐν τῇ Βασιλείᾳ Αὐτοῦ, ὡς Πατήρ ἀπειροεύσπλαγχνος.

**Καί νῦν. Ὁ αὐτός. Προεόρτιον.**

Ὁ περιλάλητος χορός, τῶν προφητῶν ἁπάντων, δεῦρο ἐν μεγαλωσύνῃ πάσῃ, τῆς ἐνθέου χαρᾶς βλέψον τήν

τελείωσιν. Ἡ γάρ ὑπέρτιμος σφραγίς σου, τῆς διαθήκης τό πλήρωμα, Ἰωάννης τῶν γηγενῶν ὁ πλέον μείζων, ἐν ὕδασι τοῦ Ἰορδάνου ἔρχεται, τήν τοῦ Πατρός βουλήν διακονῆσαι, Υἱόν τόν σαρκωθέντα βαπτίσαι, Πνεύματος δέ ἰδεῖν τήν παρουσίαν. Τῇ Τριάδι οὖν πρέσβευε ἐκτενῶς, τοῦ φωτίσαι καί ἡμῶν, τό τῆς ψυχῆς τριμερές ἐν χάριτι, ἵνα υἱοί φωτός γενόμενοι, Θεόν δοξολογῶμεν τόν μόνον ἀθάνατον.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Νικηφόρου Ὁσίου, τοῦ λεπροῦ τά παλαίσματα, καί τήν ἐν ἀσκήσει ἀνδρείαν, κατεπλάγησαν Ἄγγελοι· ὡς ἄλλος γάρ Ἰώβ τά ἀλγεινά, ὑπέμεινε δοξάζων τόν Θεόν, νῦν δέ δόξῃ ἐστεφάνωται παρ᾽ Αὐτοῦ, θαυμάτων διακρίσεσιν. Χαίροις τῶν Μοναστῶν χειραγωγέ, χαίροις φωτός ὁ πρόβολος· χαίροις ὁ εὐωδίας χαρμονήν, προχέων ἐκ λειψάνων σου.

**Δόξα καί νῦν. Προεόρτιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Ἑτοιμάζου Ζαβουλών, καί εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τόν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ σύν τῇ Προμήτορι· μή κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τό πρίν· καί γάρ γυμνούς ἰδών ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τήν πρώτην στολήν. Χριστός ἐφάνη, τήν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

# ΕΙϹ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετά τήν α΄ στιχολογίαν.**

**Κάθισμα.**

**Ἦχος α΄. Τόν τάφον σου Σωτήρ.**

Σκιρτάτω εὐσεβῶν, ἡ ὁμήγυρις πᾶσα, ἐν χείλεσιν ἁγνοῖς, περιέπουσα ὕμνοις, λεπρῶν τό ἐγκαλλώπισμα, Νικηφόρον τόν πάνσεπτον· ὅς ἐβάδισεν, ὁδόν τῶν θλίψεων χαίρων· καί ὑπέδειξε, τῆς ταπεινώσεως πᾶσι, τό μέτρον τό ἄριστον.

**Δόξα. Ὅμοιον.**

Τῆς Κρήτης ἡ λαμπρά, μεγαλόνησος δεῦρο, εὐφραίνου τόν λεπρόν, Νικηφόρον ὁρῶσα, στολήν τήν ἀπαστράπτουσαν, τῆς ψυχῆς περικείμενον· καί τό ἄφθαρτον, τῆς δόξης στέφος φοροῦντα· σύν Ἀγγέλοις δέ, ἐν τῷ Φωτί κατοικοῦντα, εἰς θεῖα σκηνώματα.

**Καί νῦν. Ὅμοιον. Προεόρτιον.**

Ἀγάλλου ποταμέ, Ἰορδάνη καί σκίρτα, ἰδού γάρ ἐπί σέ, ὁ Δεσπότης τῶν ὅλων, σαρκί νῦν παραγίνεται, ἐκ χειρός ἥν διέπλασεν· ἀναδέξασθαι, τόν Βαπτισμόν ἑκουσίως· ἵνα ῥύσηται, ἐκ τῆς χειρός τοῦ δολίου, τό γένος τό βρότειον.

## Μετά τήν β΄. Στιχολογίαν.

## Κάθισμα.

### Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.

Τοῖς ἐνθέοις σου ἄθλοις σεπτῶς ἐκόσμησας, τήν νῆσον Χίον παμμάκαρ ἐγκαρτερήσας λεπρῶν, τῇ ἐγκλείστρᾳ τοῦ Χριστοῦ τό θεῖον ὄνομα· στέργων ἐξ ὅλης σου ψυχῆς, διδαχθείς τά ὑπέρ νοῦν, Ἀνθίμου ὑψηγορίαις, καί γενόμενος Νικηφόρε, ἐν τῇ ἀσκήσει μέγας λύχνος Χριστοῦ.

### Δόξα. Ὅμοιον.

Τοῦ Ἰώβ ἐμιμήσω τό καρτερόψυχον, ἐν καταιγίσι τοῦ βίου καί πολυτρόποις δεινοῖς, Νικηφόρε ἐκ παιδός γάρ καθυπέμεινας· πόνους λεπρώσῃ σου σαρκί, τῶν ὀμμάτων σκοτασμόν, καί πάρεσιν τῶν μελῶν σου, νῦν δέ χορεύεις σύν Ἀγγέλοις, περί τόν Θρόνον τοῦ Δεσπότου Χριστοῦ.

### Καί νῦν. Ὅμοιον. Προεόρτιον.

Ἰορδάνου τά ρεῖθρα προευπρεπίσθητε, καί γάρ ὑμῖν προσεγγίζει ὁ Βασιλεύς τοῦ παντός, ἀπολούσασθαι σαρκί, ἵνα ἐνδύσηται· δόξης χιτῶνα τούς βροτούς, καί οἰκείους τῷ Πατρί, καί φίλους αὐτοῦ ποιήσῃ, κληρονόμους τε Βασιλείας, καί δαιτυμόνας τῆς Τραπέζης αὐτοῦ.

## Μετά τόν πολυέλεον.

## Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Καρτερίας ἀθλητά, στεῤῥῶν ἀγώνων ἀριστεῦ, ὁ ἐν λέπρας τῇ φλογί, ὥσπερ οἱ Παῖδες πειρασθείς, καί τῇ ψυχῇ σου ἀνάλωτος διαμείνας, ταύτην δέ φωτός ἐργασάμενος, πλέον καθαράν ἀπαστράπτουσαν· Τριαδικῆς Θεότητος τήν αἴγλην, ὦ Νικηφόρε σεβάσμιε· Θεόν δυσώπει, πάντας κηλίδων, ψυχικῶν ἀποπλῦναι.

Δόξα. Ὅμοιον.

Ἀγρυπνίας ἐραστήν, τῆς θεωρίας στοχαστήν, τόν ἐργάτην τόν πιστόν, ἀδιαλείπτου προσευχῆς, ἀκτημοσύνης ἀκίβδηλον χαρακτῆρα, πύκτην ἱκανόν, τῆς ἀσκήσεως, δείκτην ἀπλανῆ ταπεινώσεως· ὑπακοῆς κειμήλιον τό ἔμπνουν, τόν Νικηφόρον τιμήσωμεν· τῆς δόξης πλούτῳ, ὅν ὁ Δεσπότης, ἐπαξίως κατέστεψεν.

Καί νῦν. Ὅμοιον. (Προεόρτιον).

Ἀσωμάτων λειτουργῶν, οἱ ἐπουράνιοι χοροί, νῦν ἐξίστανται Θεόν, καί Βασιλέα τοῦ παντός, ἐν Ἰορδάνῃ ἐγγίζοντα καθορῶσαι, Κήρυκα Αὐτοῦ δέ προάγγελον, Θεῖον Βαπτιστήν πορευόμενον· τό φοβερόν Μυστήριον τελέσαι, καί καταδεῖξαι τοῖς ἔθνεσι· Θεοῦ τήν ἄκραν φιλανθρωπίαν, τοῦ σαρκί κενωθέντος.

Τό α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου. Εἶτα τό Προκείμενον.
**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.**

**Στίχος: Τί ἀνταποδώσομεν τῷ Κυρίῳ, περί πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;**

**Πᾶσα πνοή. Εὐαγγέλιον Ὁσιακόν.**

**Μετά τόν Ν΄ Ψαλμόν.**

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον...**
**Καί νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον...**

**Εἶτα Ἰδιόμελον. Ἦχος πλ. β΄.**
**Στίχος: Ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου...**

Χριστοῦ τῆς Ἐκκλησίας, τόν ἡγιασμένον λύχνον, τόν ἐπάνω ὄρους κείμενον, καί φέγγει τῶν ἀρετῶν, πᾶσι τοῖς πέρασιν ἀπαστράπτοντα, Νικηφόρον τόν λεπρόν ἐγκωμιάσωμεν. Ἐν ἐλαίῳ γάρ ὑπομονῆς, τῆς ψυχῆς τήν λαμπάδα ἐνέπλησε, καί ἕτοιμος γενόμενος, εἰσῆλθε σύν φρονίμοις παρθένοις, εἰς τήν χαράν τοῦ Κυρίου, Αὐτοῦ δοξολογῶν τό πανάγιον ὄνομα.

**Οἱ Κανόνες: Τοῦ Μηναίου ὁ Προεόρτιος.**

**Τοῦ Ὁσίου. Ὁμόηχος, οὗ ἡ ἀκροστιχίς:**
**«Νικηφόρον λεπρόν ἐγκωμιάζω. Ἰσιδώρας»**

**Ὠδή α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.**

Νικητικαῖς ἀγλαΐαις καταστεφθείς, Νικηφόρε πάνσεπτε, τήν λεπρῶσαν μου ψυχήν, καθαραῖς σου λάμπρυνον εὐχαῖς, τοῦ ἐξαίρειν τά πολλά σου προτερήματα.

Ἰαματόβρυτον χάριν παρά Θεοῦ, δαψιλῶς ἐπλούτησας, Νικηφόρε ἱερέ, ὡς βαστάσας λέπρας ἀλγεινῆς, πολυχρόνιον αὐχμόν ἀειμακάριστε.

Κεκοσμημένος τῷ κάλλει τῶν ἀρετῶν, καί χρυσοῦ λαμπρότερον, ἀπαστράπτων τοῖς ἐν γῇ, φωτεινῶν ἀκτίνων σου αὐγαῖς, Νικηφόρε τήν καρδίαν μου ἱλάρυνον.

**Θεοτοκίον.**

Ἡ τοῦ Ὑψίστου ἀρχαία Κόρη βουλή, ἐν σοί πέρας εἴληφε, Μαριάμ παναληθῶς, ὡς τεκοῦσα ἄναρχον Θεόν, ἐπανάγοντα βροτούς εἰς τόν παράδεισον.

**Καταβασία.**

*Βυθοῦ ἀνεκάλυψε πυθμένα· καί διά ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιός ἐν πολέμοις Κύριος· ὅτι δεδόξασται.*

**Ὠδή γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.**

Φωνήν ἐβόας τῷ Θεῷ, ὡς Ἰώβ Νικηφόρε, τήν Αὐτοῦ εὐσπλαγχνίαν, ἐκ βαθέων εὐλογῶν, ὅτι ἐν λέπρας πυρί, τήν ψυχήν σου θείως ἀπεκάθηρεν.

Ὁδόν διέδραμες μακράν, Κρήτης ἐκ νήσου μάκαρ, Ἀλεξάνδρου εἰς πόλιν, ἀφικόμενος σπουδῇ, καί τάς ἀνάγκας τοῦ ζῆν, Νικηφόρε τέχνῃ ποριζόμενος.

Ραβδίον φίλτρου θεϊκοῦ, ἔχων ὡς βακτηρίαν, ὀρφανίας διέβης, στενωτάτην ἀτραπόν, τῷ Οὐρανίῳ Πατρί, σήν ἐλπίδα Νικηφόρε θέμενος.

### Θεοτοκίον.

Οὐδόλως ἔφθειρε τήν σήν, μήτραν Θεός Παρθένε, ἐνοικήσας ἐν ταύτῃ, καί ἀφράστως σαρκωθείς, ὅπως θανάτου φθορᾶς, ἀπαλλάξῃ γένος τό ἀνθρώπινον.

### Καταβασία.

*Ἰσχύν ὁ διδούς τοῖς βασιλεῦσιν ἡμῶν Κύριος καί κέρας χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται, μολεῖ δέ πρός τό βάπτισμα· διό, πιστοί, βοήσωμεν· Οὐκ ἔστιν ἅγιος ὡς ὁ Θεός ἡμῶν καί οὐκ ἔστι δίκαιος πλήν σοῦ, Κύριε.*

### Κάθισμα.

**Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.**

Τῆς πτωχείας τόν πλοῦτον ἐνστερνισθείς, εὐθυπόρως διέβης τρίβον στενήν, τῆς θείας τελειώσεως, Νικηφόρε μακάριε· ἐν γάρ ὁσίοις τρόποις, καλῶς ἐνδιέπρεψας· καί Μοναστῶν ἐκόσμησας, τά θεῖα συστήματα· πόνους ὑπομείνας, ἀλγεινῆς ἀσθενείας, τήν λέπραν τοῦ σώματος, ὀφθαλμῶν τε τήν ἄμβλυνσιν, καί μελῶν σου παράλυσιν. Κύριον δοξάζων ἀεί, τόν σέ πλουτήσαντα θείοις χαρίσμασιν· καί σέ δείξαντα σκεῦος, εὐωδίας τοῦ Πνεύματος.

### Δόξα. Ὅμοιον.

Τοῦ Ἀνθίμου ὑπείκων ταῖς διδαχαῖς, τοῦ ἐν Χίῳ διέλαμψας εὐπρεπῶς, νηστείαις καί δεήσεσι, προσευχαῖς

ἀγρυπνίαις τε· καί ἀνεδείχθης κόσμῳ, ὡς στῦλος ὑπέρφωτος· ὡς Μωϋσῆς τό πρότερον, δεικνύνων τοῖς πέρασιν· Πόλιν τήν ἁγίαν, προσευχῆς ἀενάου, διδάσκων ἐν λόγοις σου, Νικηφόρε καί πράξεσι, ἀγαθῶν τήν ἀκρότητα· ὕψη εἰς τά θεῖα ἀρθείς, ὡς ὁ οὐράνιος Παῦλος ἐν σώματι· μεθ᾽ οὗ πρέσβευε Πάτερ, τοῦ σωθῆναι τούς δούλους σου.

**Καί νῦν. Ὅμοιον. Προεόρτιον.**

Ἰορδάνου νῦν πᾶσαι αἱ προχοαί, εὐφροσύνως σκιρτήσατε ἐν χαρᾷ, ἰδού γάρ νῦν πορεύεται, πρός ὑμᾶς ὁ Θεάνθρωπος· τοῦ βαπτισθῆναι θέλων, χερσίν οἷς διέπλασε· καί ἐμπιπλᾷν τά σύμπαντα, αὐτοῦ τῆς χρηστότητος· πᾶσα δέ συμφώνως, τῶν ὑδάτων ἡ φύσις, ἀγάλλου καί χόρευε, τῶν ναμάτων μετέχουσα, τῆς Αὐτοῦ καθαρότητος. Ὕψωσον Χριστῷ δέ φωνήν, καί τήν ἀμέτρητον χάριν μεγάλυνον· τοῦ ποιήσαντος πάντα, εἰς τό σῶσαι τόν ἄνθρωπον.

**Ὠδή δ΄. Χριστός μου δύναμις.**

Νηστείαις ἤνυσας, ζωῆς τό στάδιον· ἀγρυπνίαις παννύχοις και προσευχαῖς, ἄγγελος ἐπίγειος, μετά σαρκός πολιτευθείς, Νικηφόρε ἀξιάγαστε.

Λατρείαν ἔνειμας, Θεῷ ἐν πνεύματι· ταπεινώσεως μάκαρ καί συντριβῆς, χαίρων ὅθεν εἴληφας, ὦ Νικηφόρε παρ᾽ Αὐτοῦ, τήν ἀκήρατον ἀπόλαυσιν.

Ἐν Χίῳ ἔζησας, λεπρῶν οἰκήματι· καί Μοναστῶν ἐνεδύσω σχῆμα σεπτόν, ὅπερ κατετίμησας, ἐν τῇ ἀσκήσει σου καλῶς, Νικηφόρε πανσεβάσμιε.

## Θεοτοκίον.

Πατρός βουλήματι, Υἱόν γεγένηκας· Παναγία Παρθένε δίχα σπορᾶς, Πνεῦμα γάρ τό Ἅγιον, ἐν τῇ γαστρί σου κατελθόν, Θεοτόκον σέ εἰργάσατο.

## Καταβασία.

*Ἀκήκοε, Κύριε, φωνῆς σου, ὅν εἶπας· Φωνή βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπί ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ· ὅλος γεγονώς τοῦ παρόντος Πνεύματος δέ ἐβόησε· Σύ εἶ Χριστός, Θεοῦ σοφία καί δύναμις.*

## Ὠδή ε΄. Τῷ θείῳ φέγγει σου.

Ρημάτων θείου μυσταγωγοῦ, ἤκουες Ἀνθίμου τοῦ σοφοῦ, τρίβον διδάσκοντος βαίνειν σε, εἰς εὐθείαν τρόποις χρηστοῖς, ἀρέσκειν Θεῷ, ὅν πόθῳ Νικηφόρε, κατεμεγάλυνας.

Ὀμμάτων πήρωσιν τῶν φθαρτῶν, ἔφερες δοξάζων τόν Θεόν, φῶς καθορῶν τε Θαβώριον, Νικηφόρε λύχνε Χριστοῦ, ὁ φαίνων ἐν γῇ, τό φῶς Εὐαγγελίου, τό ἱλαρώτατον.

Νεώσας ἄρουραν σῆς ψυχῆς, πίστεως ἀρότρῳ ἱερῷ, στάχυν ἀπέδωκας πλούσιον, τάς καρδίας πάντων πιστῶν, στηρίζοντα νῦν, τῶν πόθῳ Νικηφόρε, ὑμνολογούντων σε.

## Θεοτοκίον.

Εἰρήνης τέξασα τήν πηγήν, Δέσποινα Παρθένε Μαριάμ, πάντα τά ἔθνη κατήλλαξας, τῷ Δεσπότῃ πάντων Θεῷ καί Τούτου βουλῇ, τά πρώην διεστῶτα, εἰς ἕν συνήγαγες.

## Καταβασία.

*Ἰησοῦς ὁ ζωῆς ἀρχηγός λῦσαι τό κατάκριμα ἥκει Ἀδάμ τοῦ πρωτοπλάστου· καθαρσίων δέ ὡς Θεός μή δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τήν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν εἰρήνην χαρίζεται.*

## Ὠδή στ΄. Τοῦ βίου τήν θάλασσαν.

Γαλήνης ἐπέγνωκας, Νικηφόρε τήν πηγήν, καί ὡς διψῶσα ἔλαφος, ἀδιστάκτως προσέδραμες τοῦ πιεῖν, τό νᾶμα· τήν δίψαν σου τῆς ψυχῆς, καταπαῦον ἀληθέστατα.

Κοσμήσας τοῖς τρόποις σου, τήν χορείαν τῶν λεπρῶν, ἐν ἀρεταῖς διέπρεψας, Νικηφόρε τοῖς πέρασι τηλαυγῶς, ἐκλάμπων· καί πρόσωπον τό τῆς γῆς, πανιέρως καθωράϊσας.

Ὡράθης μετάρσιος, ἐν δεήσεως καιρῷ, σῷ μαθητῇ θεόληπτε, Εὐμενίῳ ἐγγίσαντί σοι νυκτός, ἐν ὥρᾳ· καί ἔβλεψας, οὐρανοῦ Νικηφόρε τά θαυμάσια.

## Θεοτοκίον.

Μαρία Θεόνυμφε, παρθενίας καθαρόν, καί εὐαγές ἀνάκτορον, τήν ψυχήν μου καθεύδουσαν τῶν παθῶν, τῷ σκότει· ἀνάστησον, σαῖς λιταῖς πρός Θεόν Ὅν ἐσωμάτωσας.

## Καταβασία.

*Ἡ φωνή τοῦ Λόγου, ὁ λύχνος τοῦ φωτός, ὁ ἑωσφόρος, ὁ τοῦ ἡλίου Πρόδρομος ἐν τῇ ἐρήμῳ· Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς καί προκαθαίρεσθε· ἰδού γάρ πάρεστι Χριστός ἐκ φθορᾶς τόν κόσμον λυτρούμενος.*

## Κοντάκιον.
### Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τ ῆς καρτερίας ἀθλητήν τόν γενναιότατον,
ὑπομονῆς τε τόν ἀλύγιστον ἀδάμαντα,
τόν ἐν θλίψει ἀσθενείας δοκιμασθέντα·
καί ὡσαύτως τόν Θεόν δοξολογήσαντα,
Νικηφόρον τόν λεπρόν ἐγκωμιάσωμεν·
τούτῳ λέγοντες· **Χαίροις νίκης φερώνυμε**.

## Οἶκος.

Ἄ καμπτος ἐν ἀσκήσει, Νικηφόρος ἐδείχθης, τῆς λέπρας ὑπομείνας τά ἄλγη. Καί τῷ Θεῷ ἐντεῦθεν ὁλοτρόπως ἀνακείμενος, εὐχαριστίας Τούτῳ αἴνεσιν προσέφερες, ἐκ καθαρᾶς καρδίας σου θεοφόρε. Διό καί νῦν ἡμεῖς, τῆς εὐσεβείας πόθῳ ἐμφορούμενοι, βοῶμέν σοι διαφερόντως ταῦτα·

Χαίροις τό σθένος τῆς ἐγκρατείας·
Χαίροις ὁ ἄτλας τῆς καρτερίας.

Χαίροις τῆς σαρκός τά ἄλγη ὁ βαστάσας ἐν ἀνδρείᾳ
Χαίροις πνεύματος τά κάλλη ὁ γνωρίσας ἐν σοφίᾳ.

Χαίροις τῶν ὁσίων τύπος, μοναστῶν ὑπογραμμός·
Χαίροις τῶν πιστῶν ἐν θείαις ἀρεταῖς χειραγωγός.

Χαίροις τοῦ φωτός ὁ στῦλος ὁ τήν κτίσιν ἐκλαμπρύνων·
Χαίροις Ἐκκλησίας λύχνος τάς ψυχάς ὁ ἱλαρύνων.

Χαίροις τό τῆς Κρήτης κλέος καί υἱός πανευπρεπής·
Χαίροις ἡ τῆς Χίου δόξα, τοῦ Ἀνθίμου μαθητής.

Χαίροις ὁ διά τῆς λέπρας καθαρθείς ὑπέρ χρυσίον·
Χαίροις πίστιν ὁ τηρήσας πρός Χριστόν τόν σόν νυμφίον.

**Χαίροις νίκης φερώνυμε.**

# CYNAΞAPION

**Τῇ δ΄. τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καί θεοφόρου Πατρός ἡμῶν Νικηφόρου τοῦ λεπροῦ, τοῦ ἐν Χίῳ ἐπ᾽ ἐσχάτων τῇ καρτερίᾳ ἀθλήσαντος καί ἐν ἀσκήσει διαπρέψαντος.**

Στίχοι: **Σχῆμα Μοναχῶν φορέσας Νικηφόρος,**
**τύπος προσευχῆς ἐγένετο ἀπαύστου.**
**Ἰανουαρίου τετράδι σάρξ λεπρῶσα Νικηφόρου χθονί**
**ἐτάφη, πνεῦμα δέ ὁλόλαμπρον ἐν οὐρανοῖς ἀνέπτη.**

Οὗτος ὁ πανίερος καί ἐν ὁσίοις θαυμαστός πατήρ ἡμῶν Νικηφόρος, πατρίδα ἐπίγειον ἔσχε τό χωρίον Σηρικάριον τῆς μεγαλονήσου Κρήτης, ἔνθα ἐγεννήθη περί τά τέλη τοῦ δεκάτου ἐνάτου αἰῶνος (ἐν ἔτει 1890), ἐκ γονέων εὐσεβῶν καί τάς ἀρετάς ἐν ἁπλότητι ψυχῆς καί πίστει ἐπιμελουμένων. Τούτους, τήν παιδικήν ἔτι ἄγων ἡλικίαν ἐστερήθη, τήν δέ κηδεμονίαν αὐτοῦ ἀνέλαβεν ὁ ἐκ πατρός πάππος του Ἰωάννης Τζανακάκης.

Τῇ θλίψει τῆς ὀρφανίας προσετέθη πάραυτα καί ἡ ἀνύποιστος ὀδύνη τῆς λέπρας καί τά ἐκ ταύτης ὅσα ἀλγεινά. Τό ἐμφανές τῶν στιγμάτων τῆς φοβερωτάτης καί ἀνιάτου ἔτι νόσου ταύτης, ἠνάγκασαν τόν δεκαεξάχρονον Νικόλαον, ὅπως μεταβῇ ἐκ τῶν Χανίων τῆς Κρήτης, ἔνθα τήν τοῦ κουρεύειν τέχνην ἐξεμάνθανεν, εἰς Ἀλεξάνδρειαν τήν μεγάλην.

Κἀκεῖ ἐργαζόμενος τά τοῦ ζῆν ἐξοικονόμει καί τοῖς πολλοῖς φιλίαν συνάπτων, τῆς ἀγαθῆς καί καθαρᾶς αὐτοῦ καρδίας τήν ἀγάπην ἔκδηλον ἐποίει. Τιμήν δέ περισσήν προσνέμων τοῖς Ἀρχιερεῦσιν, ἱερεῦσι καί ἄλλοις ἐκκλησιαστικοῖς προσώποις, τήν αὐτῶν συμπαράστασιν ἀντέλαβεν ὡσαύτως.

Τῇ συμβουλῇ ὅθεν καί ἐνισχύσει Ἀρχιερέως τοῦ Ἀλεξανδρινοῦ θρόνου, ἔφθασεν εἰς τήν ἱεράν τῆς Χίου νῆσον, παραδοθείς εἰς ὑπακοήν τελειωτάτην τοῦ μακαρίου καί ἐν ἀρεταῖς περιβοήτου Γέροντος Ἀνθίμου τοῦ Βαγιάνου. Οὗτος καταβαλών τό ποσόν τῶν τριάκοντα χρυσῶν λοϊζίων, ἐκ τῶν συναχθέντων πρός ἀνέγερσιν τῆς Ἱερᾶς Μονῆς «Παναγίας τῆς Βοηθείας», ἧς ἐγένετο κτίτωρ μετ᾽ ὀλίγον καί ἐν θαύμασι ξακουστός, συγκατερίθμησε τόν λεπρόν Νικόλαον εἰς τούς ἐγκαταβιοῦντας ἐν τῷ λεπροκομείῳ τῆς Χίου, ἐν ἔτει 1914. Μετά παρέλευσιν δύο ἐτῶν, ἔκειρε τοῦτον μεγαλόσχημον Μοναχόν, μετονομάσας αὐτόν Νικηφόρον.

Τῷ ὄντι δέ ὕστερον ἡ κλῆσις τοῖς ἔργοις ἐπαληθεύσατο, καθ᾽ ὅσον ἐν ἀγῶσιν ἀσκητικοῖς διέπρεψεν οὗτος καί ἐν νίκαις ἱεραῖς ἐπεσφραγίσατο τούς κατά Θεόν αὐτοῦ καμάτους, γενόμενος ἀθλητής Χριστοῦ ἱκανώτατος. Ἐν καρτερίᾳ τῶν ἐκ τῆς λέπρας δεινῶν ἄκαμπτος, ἐν τῇ ὑπομονῇ ἀκέραιος, ἐν τῇ ἀσκήσει θαυμαστός. Νηστεύων οὐκ ἐπαύσατο, παρά τό ἀσθενές τοῦ πηλίνου σκεύους τῆς σαρκός, ἀπέχων καί αὐτοῦ τοῦ ἐλαίου τάς διατεταγμένας ὑπό τῆς Ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ἡμέρας. Τάς ἀγρυπνίας ἐξαιρέτως ἠγάπα, προσευχόμενος ἐν νυκτί εἰς τό κελλίον του, ἔνθα ἀμετρήτους μετανοίας ἄχρις ἐδάφους ἐποίει. Τῆς ἐκκλησιαστικῆς συνάξεως οὐδέποτε ἐχωρίζετο, μετέχων ἐνεργῶς ὡς ψάλτης εἰς τόν ἱερόν Ναόν τοῦ Ἁγίου Λαζάρου, ἐν τῷ λεπροκομείῳ τῆς Χίου, ἔνθα ἐφυλάσσετο καί ἡ θαυματουργός εἰκών τῆς «Παναγίας τῆς Ὑπακοῆς»,

ἥν ἐπιμελῶς ἐπεχρύσωσε ὁ ὅσιος Ἄνθιμος, τῇ ἐν ὁράματι αὐτοῦ προσταγῇ τῆς Κυρίας Θεοτόκου.

Τό ἱερόν ψαλτήριον καί πλῆθος τροπαρίων ἀπήγγειλε μετά ζήλου ἐπαινετοῦ καί ἀπό στήθους πλειστάκις ἔλεγεν, ὅταν ἡ ὅρασις αὐτοῦ ἐμειώθη καί ἐξέλιπε σύν καιρῷ. Τῆς ἐργασίας οὐχ ἠμέλει, περιποιούμενος τόν μικρόν του ἀνθόκηπον μετά τοῦ μαθητοῦ καί βοηθοῦ αὐτοῦ Θεοδώρου. Τῆς ἐγκρατείας τύπος ἐγένετο, ἀρκούμενος εἰς τά πλέον χρειώδη καί μοιράζων τά λοιπά. Τῆς πτωχείας καί ἀκτημοσύνης εἰκών τελεία ἐφάνη, τῆς προσευχῆς δέ κεφάλαιον καί θησαυρός πολύτιμος, τό τοῦ Παύλου πληρῶν ἐν ἀκριβείᾳ: «ἀδιαλείπτως προσεύχεσθε». Τῆς εἰρήνης φίλος μηδέποτε φιλονικῶν, τῆς εὐσεβείας ἐραστής, τῆς πίστεως σφραγίς, τῆς δέ παρηγορίας στόμα γλυκύτατον. Χαρισμάτων τιμίων πλήρης κρατήρ, διακρίσεως στάθμη, διοράσεως μέτρον, προοράσεως δέ ὀφθαλμός καθαρός, τά πόῤῥω ὡς ἐγγύς γινώσκων, ἐν τῷ σώματι ἔτι περιών, ἀλλά καί μετά θάνατον ἐξαίσια τοιαῦτα ἐπιτελῶν, Θεοῦ συνεργοῦντος.

Τῇ ταπεινώσει τά ὑψηλά ἐκτήσατο, ὁ θεσπέσιος οὗτος Νικηφόρος, εἰς μέτρα φθάσας Ἀγγέλων. Διό καί πρό τοῦ τέλους αὐτοῦ ἤρθη μετέωρος ἐν καιρῷ νυκτός, καθ᾿ ὅν προσηύχετο, ὡς ἔβλεψεν αὐτόν Εὐμένιος, ὁ τούτου μαθητής, ὁ διαμένων ὡς ἱερουργός ἐν τῷ ἀντιλεπρικῷ σταθμῷ «Ἁγία Βαρβάρα» Ἀθηνῶν, ἔνθα μετέβη ὁ ὁσιώτατος Νικηφόρος ἀπό τοῦ ἔτους 1957, ὅτε ἔπαυσεν ἡ λειτουργία τοῦ λεπροκομείου τῆς Χίου. Εἰς τοῦτον τόν ἐνάρετον ἄνδρα καί θεῖον Εὐμένιον ἐνεχείρισε τήν ἐπιστολήν τοῦ Ἁγίου Ἀνθίμου, τοῦ Γέροντός του, ὁ λεπρός Νικηφόρος, λέγουσαν ἐν ἄλλοις: «Προσέξατε τοῦτον τόν θησαυρόν, τοῦτον τόν πολύτιμον μαργαρίτην...». Μαργαρίτης Χριστοῦ πάνυ ἀκριβός, θησαυρός προσευχῆς μέγα ὑπέρτιμος, ὁ λεπρός τῷ σώματι, πλήν καθαρώτερος χιόνος

τῇ ψυχῇ Νικηφόρος. Τῆς νήψεως διδάσκαλος, τῆς νοερᾶς προσευχῆς καθηγητής ἐμπειρότατος, τῆς καθαρᾶς καρδίας ἐπιμελούμενος τήν τελειότητα, τῆς ὁμιλίας μετά τοῦ Θεοῦ Ἀγγέλων ἐφάμιλλος, τῆς ἁρπαγῆς τοῦ νοός γνώστης δοκιμώτατος, τῆς ἐλευθερίας τοῦ πνεύματος ὑψιπέτης ἀετός, Θεοῦ ἐραστής, Θεοῦ στρατιώτης, Θεοῦ θεράπων, Θεόν ἀναπνέων, Θεοῦ εὐωδία τοῦ μόνου εὐλογητοῦ.

Τόν Ἰώβ ἐμιμήσατο ἄχρι τέλους, ὅτε ἐν κλίνῃ κατέκειτο, τῶν μελῶν αὐτοῦ ἐκ τῆς λέπρας παραλυθέντων. Ὡς Λάζαρος ὁ ἐν πληγαῖς, ἐν πραότητι ἐκαρτέρει, τόν Θεόν δοξολογῶν, οὗ εἰς χεῖρας τήν ψυχήν αὐτοῦ παρέδωκεν, ἔν ἔτει 1964, τῇ τετάρτῃ Ἰανουαρίου μηνός, ἐνταφιασθείς ἐν τῷ Κοιμητηρίῳ τοῦ ἀντιλεπρικοῦ σταθμοῦ ἐν Ἀθήναις. Οὕτως ἐν ἀφανείᾳ μετέβη εἰς οὐρανούς, ὁ τῷ Θεῷ γνωστός καί οἰκεῖος καί υἱός ὑπήκοος Αὐτοῦ, Νικηφόρος ὁ λεπρός.

Τά τίμια καί εὐωδιάζοντα καί χαριτόβρυτα αὐτοῦ λείψανα, ἐφυλάσσοντο εἰς θήκην μικροῦ κιβωτίου, ὑπό τοῦ πνευματικοῦ του τέκνου, Εὐμενίου ἱερομονάχου, ὅστις διηκόνησε τόν Ὅσιον τοῦτον ἐπί τῷ τέλει τῆς ἐπί γῆς αὐτοῦ καλῆς στρατείας, διανεμηθέντα ὑπ᾽ αὐτοῦ τοῖς σεβομένοις τόν ὅσιον τοῦτον Πατέρα, τόν ἐν ἐσχάτοις χρόνοις ἄριστον ὑπογραμμόν τῆς ἀσκητικῆς πολιτείας καί πύκτην ἐμπειρότατον ἐν τοῖς ἐνθέοις ἀγωνίσμασιν, Νικηφόρον τόν λεπρόν, τό καύχημα τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καί πάντων ἡμῶν πρέσβυν πρός Θεόν θερμότατον. Οὗ ταῖς πρεσβείαις ἀξιωθείημεν πάντες, ἐν ὑπομονῇ καί μετανοίᾳ εὐαρεστῆσαι τῷ ἐν Τριάδι Θεῷ ἡμῶν, Πατρί, Υἱῷ τε καί Πνεύματι Ἁγίῳ, ᾧ ἡ τιμή καί προσκύνησις εἰς τούς αἰῶνας. ΑΜΗΝ.

## Ὠδή ζ΄. Δροσοβόλον μέν τήν κάμινον.

Ἱκανώτατόν σε ἔγνωμεν διδάσκαλον, νήψεως καί ἀπαύστου εὐχῆς· παρ᾽ Ἀνθίμου γάρ Νικηφόρε, ἔμαθες αὐτήν, καί ἔψαλλες ὅλῃ σου ψυχῇ· εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀριστεύσας ἐν τιμίοις ἀγωνίσμασιν, στέφανον ἀνεδήσω λαμπρόν· καί ἀμάραντον Νικηφόρε, ὅθεν ἐν χαρᾷ, Κυρίῳ τήν αἴνεσιν βοᾷς· εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ζηλωτής Ἰώβ τοῦ θείου ἀνεδέδειξαι, λέπρωσιν καρτερήσας σαρκός· καί τά ἕλκη σου Νικηφόρε, φέρων ἀνδρικῶς, γηθόμενος ἔψαλλες ἀεί· εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

### Θεοτοκίον.

Ὡραιότητος ὡς σκήνωμα ὑπάρχουσα, Δέσποινα Θεοτόκε Ἁγνή· τόν ὑπέρτερον ἐν τῷ κάλλει, ἔτεκες Θεόν, καί ἅπαντας ἤγειρας βοᾷν· εὐλογημένη ἡ Θεόν, ἀποτεκοῦσα σαρκί.

### Καταβασία.

*Νέους εὐσεβεῖς, καμίνῳ πυρός προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καί θείου ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογί δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καί Θεός, εὐλογητός εἶ.*

## Ὠδή η΄. Ἐκ φλογός τοῖς ὁσίοις.

Ἱκανά τῶν ἀγώνων, ἔστησας τρόπαια, καί Θεόν στεφοδότην, ἄθλοις σου ηὔφρανας· ὅθεν παρ᾽ Αὐτοῦ, λαμπρά, γέρα ἐκόμισας· καί τῆς εὐωδίας, τά ῥεῖθρα Νικηφόρε.

Σοφιστήν τῆς κακίας, πάτερ ἐγέλασας, καί σοφίας τῆς ἄνω, ἔσοπτρον γέγονας· βλέπειν τά μακράν, καλῶς, λέγειν τά μέλλοντα· καί ἐπιγινώσκειν τά θεῖα Νικηφόρε.

Ἱερόν Παρακλήτου, στόμα γεγένησαι, καί παρήγορον λόγον, χαίρων μετέδωκας· πόνων γάρ ὁδόν, δραμών, δέδειξαι μέτοχος· τῶν εἰρηνοδώρων, χαρίτων Νικηφόρε.

### Θεοτοκίον.

Δυνατόν ἐν ἰσχύϊ, Λόγον ἐκύησας, ὡς Αὐτός ἠβουλήθη, Πάναγνε Δέσποινα· φύσεως θεσμούς, σεμνή, μόνη ἐκαίνισας· σοί οὖν προσφωνοῦμεν, τό χαῖρε εἰς αἰῶνας.

### Καταβασία.

*Μυστήριον παράδοξον ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ῥείθροις ἔμελλεν ἄϋλον πῦρ, εἰσδέχεσθαι ὁ Ἰορδάνης καί στέγειν σαρκί βαπτιζόμενον τόν Κτίστην· ὅν εὐλογοῦσι λαοί, καί ὑπερυψοῦσιν εἰς πάντας τούς αἰῶνας.*

## Ὠδή θ΄. Θεόν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

**Στίχ.: Μεγάλυνον ψυχή μου λεπρῶντα Νικηφόρον, τόν ἄθλοις καρτερίας λαμπρῶς μεγαλυνθέντα.**

Ὡς μέγαν πλοῦτον πιστοῖς κατέλιπες, τά ἱερά καί πλήρη εὐωδίας σου λείψανα· ἐν αὐτοῖς γάρ Πνεύματος, Ἁγίου πολλή, χάρις κατασκηνοῦσα· νέμει ἑκάστοτε, ῥῶσιν Νικηφόρε καί ζωῆς, θείαν ἀπόλαυσιν.

Στίχ.: **Μεγάλυνον ψυχή μου, λεπρῶντα Νικηφόρον, ὁσίων θείους δήμους κοσμήσαντα πρεπόντως.**

Ῥαδίως τρίβον στενήν ἐβάδισας, ἐν πλατυσμῷ καρδίας Νικηφόρε πανόλβιε· καί αὐλάς κατῴκησας, τάς πλήρεις φωτός, πόλεως οὐρανίου· ἔνθα Κυρίῳ σου, σύν τοῖς ἀπ᾽ αἰώνων ἐκλεκτοῖς, προσάγεις αἴνεσιν.

**Δόξα.**

Στίχ.: **Μεγάλυνον ψυχή μου, λεπρῶντα Νικηφόρον, Χαρίτων Παρακλήτου θησαύρισμα εὐῶδες.**

Ἀγγέλων ἅμα εὐφραίνει τάγμασιν, ἐν οὐρανοῖς ἀφράστως Νικηφόρε ἀοίδιμε· τῇ σαρκί ὡς ἄϋλος, ἠσκήθης ἐν γῇ, πόνους καθυπομείνας· θείῳ φρονήματι, ὅθεν νῦν μετέχεις τῆς τερπνῆς, ἀγαλλιάσεως.

**Καί νῦν. Θεοτοκίον.**

Στίχ.: **Μεγάλυνον ψυχή μου, τήν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.**

Σοφίαν Λόγον Θεοῦ καί Δύναμιν, ἐν σῇ γαστρί Παρθένε παραδόξως ἐκύησας· καί Ἀδάμ ἀνήγαγες, εἰς θρόνον Θεοῦ, δόξης τε παραστάτην· τοῦτον ἐποίησας, ἵνα σοῦ δοξάζῃ ἐκτενῶς, τήν ἀγαθότητα.

**Στίχ.: Μεγάλυνον ψυχή μου τήν τιμιωτέραν, καί ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.**

## Καταβασία.

*Ἀπορεῖ πᾶσα γλῶσσα εὐφημεῖν πρός ἀξίαν· ἰλιγγιᾷ δέ νοῦς καί ὑπερκόσμιος ὑμνεῖν σε, Θεοτόκε· ὅμως ἀγαθή ὑπάρχουσα, τήν πίστιν δέχου· καί γάρ τόν πόθον οἶδας τόν ἔνθεον ἡμῶν· σύ γάρ Χριστιανῶν εἶ προστάτις, σέ μεγαλύνομεν.*

## Ἐξαποστειλάρια.

**Ἦχος γ΄. Ὁ οὐρανόν τοῖς ἄστροις.**

Τά ἀλγεινά τῆς λέπρας, καθυπομείνας ἀδρικῶς, τόν τῆς ψυχῆς σου χιτῶνα, ἐλάμπρυνας πανευπρεπῶς, ὦ Νικηφόρε τῆς νίκης, φερωνυμῶν τῆς καλλίστης.

**Προεόρτιον. Ὅμοιον.**

Ἡ τῶν ὑδάτων φύσις, πᾶσα ἀγάλλου ἐν χαρᾷ, ὁ γάρ τῶν πάντων Δεσπότης, ἐν Ἰορδάνῃ ποταμῷ, ἑκών μολεῖ βαπτισθῆναι, ὑπό τοῦ θείου Προδρόμου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

**Ἱστῶμεν στίχους δ΄. καί ψάλλομεν τά ἀκόλουθα Προσόμοια.**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Ἑορταζέτω νῦν Κρήτη, ἡ μεγαλόνησος, καί οἷα μήτηρ χεῖρας, γηθοσύνως κροτείτω, μέλπουσα τόν ταύτης, ἄρτι υἱόν, Νικηφόρον τόν πάνσεπτον, τόν ὑπομείναντα λέπρας τά ἀλγεινά, τοῦ ἀδάμαντος στεῤῥότερον.

Ὡς ὁ Ἰώβ Νικηφόρε, γενναίως ἔφερες, ἐκ παίδων ὀρφανίαν, ξενιτείαν τε θλίψεις, λέπραν καί ὀδύνας, καί σκοτασμόν, τῶν προσκαίρων ὀμμάτων σου, ἀλλ᾽ οὐρανίων τά κάλλη καινοπρεπῶς, ἐθεάσω ἐν καρδίᾳ σου.

Ὑπομονῆς Νικηφόρε, κανών γεγένησαι, τῆς καρτερίας μέτρον, ἐγκρατείας ἡ στάθμη, λύχνος φωτοφόρος, ὑπακοῆς, προσευχῆς τε διδάσκαλος, τῆς ταπεινώσεως βάθρον ὑψοποιόν, καί πραότητος θησαύρισμα.

Ταῖς νουθεσίαις Ἀνθίμου, ὑπείκων γέγονας, Σιών τῆς ἄνω λίθος, χρυσαυγής Νικηφόρε, πλέον τῆς χιόνος, τῇ σῇ ψυχῇ, καθαρεύων μακάριε, καί ἀπαστράπτεις λειψάνοις σου ἱεροῖς, εὐωδίαν τήν οὐράνιον.

**Δόξα.** **Ἦχος πλ. α΄.**

Τό τοῦ Παναγίου Πνεύματος, ἱερώτατον ταμεῖον, τό τῆς χιόνος καθαρώτερον ἔσοπτρον τῶν ἀρετῶν, Χριστοῦ τοῦ πραέος καί ταπεινοῦ τῇ καρδίᾳ, τόν ἐράσμιον φίλον, Νικηφόρον μεγαλύνωμεν. Καί γάρ τῇ ψυχῇ αὐτοῦ, ἐμεγάλυνε τόν Κύριον, τά Τούτου γλυκέα λόγια, ἀπό στήθους ψάλλων ἐκτενῶς, στόμα δέ παρήγορον ἐγένετο τοῖς πᾶσι. Πρεπόντως οὖν παρά Χριστοῦ ἐτιμήθη, τῇ τῶν λειψάνων αὐτοῦ ἀῤῥήτῳ εὐωδίᾳ, εὐφραίνων ἀεί τούς προσκυνοῦντας αὐτά, καί τήν πανέορτον αὐτοῦ μνήμην δοξάζοντας.

**Καί νῦν.** **Ὁ αὐτός. Προεόρτιον.**

Ἡ τῶν γηγενῶν παραπεσοῦσα φύσις, γηθοσύνως νῦν προεόρτασον, τῆς μεγάλης εὐλογίας τά προοίμια. Ἰδού γάρ ὁ Ὕψιστος Θεός, καί Βασιλεύς τῶν αἰώνων, ἐν τοῖς ποταμίοις ὕδασιν, ἐγγίζει βαπτισθῆναι· ἵνα δι᾽ ὕδατος εἰς οὐρανούς, πάντας ἀνυψώσῃ, καί βασιλείας χαρίσηται τό ἀξίωμα. Σύν τῷ Ἀδάμ καί ἡμεῖς πανηγυρίσωμεν, τῆς σωτηρίου χαρᾶς τήν ἀντίδοσιν, οὕτω βοῶντες· ὁ τῶν θαυμασίων Θεός, καί τῶν Δυνάμεων Κύριος, εἰς τούς αἰῶνας, δόξα Σοι.

**Δοξολογία Μεγάλη.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τυπικά καί εἰς τούς Μακαρισμούς ἡ γ΄. καί στ΄. ᾠδή ἐκ τοῦ Κανόνος τοῦ ὁσίου.**

## ΑΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Νικηφόρου Ὁσίου, τοῦ λεπροῦ τά παλαίσματα, καί τήν ἐν ἀσκήσει ἀνδρείαν, κατεπλάγησαν Ἄγγελοι· ὡς ἄλλος γάρ Ἰώβ τά ἀλγεινά, ὑπέμεινε δοξάζων τόν Θεόν, νῦν δέ δόξῃ ἐστεφάνωται παρ᾽ Αὐτοῦ, θαυμάτων διακρίσεσιν. Χαίροις τῶν Μοναστῶν χειραγωγέ, χαίροις φωτός ὁ πρόβολος· χαίροις ὁ εὐωδίας χαρμονήν, προχέων ἐκλειψάνων σου.

### Κοντάκιον.

**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τῆς καρτερίας ἀθλητήν τόν γενναιότατον,
ὑπομονῆς τε τόν ἀλύγιστον ἀδάμαντα,
τόν ἐν θλίψει ἀσθενείας δοκιμασθέντα·
καί ὡσαύτως τόν Θεόν δοξολογήσαντα,
Νικηφόρον τόν λεπρόν ἐγκωμιάσωμεν·
τούτῳ λέγοντες· **Χαίροις νίκης φερώνυμε.**

### Ἀπόστολος.

**Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος βαρύς (Ψαλμός ριε΄).**
**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

**Στίχ.: Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περί πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;**

Ἀδελφοί, ὁ καρπός τοῦ Πνεύματός ἐστίν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις,

πρᾳότης, ἐγκράτεια· κατά τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δέ τοῦ Χριστοῦ τήν σάρκα ἐσταύρωσαν σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν Πνεύματι, πνεύματι καί στοιχῶμεν. Μή γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐάν καί προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοί καταρτίζετε τόν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μή καί σύ πειρασθῇς. Ἀλλήλων τά βάρη βαστάζετε, καί οὕτως ἀναπληρώσατε τόν νόμον τοῦ Χριστοῦ.

**Ἀλληλούϊα (γ΄). Ἦχος α΄. (Ψαλμός ρια΄).**
**Στίχ.: Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.**

**Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τόν αἰῶνα τοῦ αἰῶνος.**

**Εὐαγγέλιον (ὁσιακόν).**

**Μεγαλυνάριον.**

Δεῦρο φιλοχρίστων θεία πληθύς, τοῦ Χριστοῦ τόν φίλον Νικηφόρον νῦν τόν λεπρόν· ὕμνοις ἐγκωμίων κοσμήσωμεν ἀξίως, ὡς θείας καρτερίας, πύκτην πανάριστον.

**Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...**

**Δίστιχα. Ἀκροτελεύτια.**

Ὑπομονήν μοι βράβευσον ἐν λύπαις Νικηφόρε, ὁ λέπρας τήν ἀνύποιστον ὀδύνην ὑπομείνας. Καί τῷ Θεῷ εὐχαριστεῖν ἐν πᾶσιν δίδαξόν με, ἡ σέ ἐγκωμιάζουσα κραυγάζει Ἰσιδώρα, ὡς ἄν εὐχαῖς σου εὔροιμοι ζωῆς τάς ἀντιδόσεις.

**ΤΕΛΟΣ·**
**ΚΥΡΙῼ ΔΕ, Τῼ ΤΩΝ ΚΑΛΩΝ ΤΕΛΕΙΩΤῌ,**
**Η ΔΟΞΑ ΠΡΕΠΕΙ ΚΑΙ Η ΤΙΜΗ**
**ΕΙΣ ΤΟΥ ΑΙΩΝΑΣ ΤΩΝ ΑΙΩΝΩΝ. ΑΜΗΝ.**

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΛΕΠΡΟΥ
ΤΟΥ ΑΡΤΙ ΤΗ ΚΑΡΤΕΡΙΑ ΑΘΛΗΣΑΝΤΟΣ
ΕΝ ΤΗ ΝΗΣΩ ΧΙΩ.

(Οὗ ἡ ἱερά μνήμη ἐπιτελεῖται τήν **4ην Ἰανουαρίου**).

(Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης).

“Ψυχῆς μου χείλη λάμπρυνον τά θαυμαστά σου ᾄδειν,
ὦ Νικηφόρε τῶν λεπρῶν ἡ πάγκαλος λαμπρότης”.

**Εὐλογήσαντος τοῦ ἱερέως.**

**Κύριε εἰσάκουσον...**

**Μεθ᾽ ὅ Θεός Κύριος καί ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (Τετράκις).**

**Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.**

Ἀνδρειοφρόνως τῆς σαρκός σου τήν λέπραν, καθυπομείνας ὡς Ἰώβ Νικηφόρε, τῆς σῆς ψυχῆς ἐξήγνισας, λαμπρῶς τήν στολήν· τέλεον τήν κλίμακα, ἀρετῶν δέ ἀνέβης, φθάσας τῇ ἀσκήσει σου, πολιτείαν ἀγγέλων· ἀδιαλείπτως ψάλλων τῷ Θεῷ, σοί δόξα πρέπει, Τριάς ὁμοούσιε.

**Δόξα. Τό αὐτό.**

**Καί νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν, ἕως νῦν, ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ, σούς γάρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄ Ψαλμός. Ἐλέησόν με ὁ Θεός...**

**Καί ἀρχόμεθα τοῦ Κανόνος, οὗ ἡ ἀκροστιχίς:**
**«Χαῖρε Νικηφόρε λεπρῶν καινή λαμπρότης».**

**Ἦχος πλ. δ΄. Ὠδή α΄. Ὑγράν διοδεύσας.**

Χαρίτων τό σκεῦος τό καθαρόν, χιόνος ἁπάσης τόν λευκότερον τῇ ψυχῇ, λεπρόν Νικηφόρον δεῦτε πάντες· καθαρωτάταις ᾠδαῖς μεγαλύνωμεν.

Ἀγάπης σφραγίδα τήν ἱεράν, τῆς πίστεως δρόμον τόν τελέσαντα ἀνδρικῶς, ἐλπίδι τῆς ἄνω Βασιλείας· νῦν Νικηφόρον λεπρόν μακαρίσωμεν.

Ἱδρῶσιν ὁσίας σου ἀγωγῆς, ψυχήν σου τήν θείαν Νικηφόρε παναληθῶς, ποιήσας χρυσίου λαμπροτέραν· εἰς τοῦ Θεοῦ σου τάς χεῖρας παρέθηκας.

**Θεοτοκίον.**

Ῥημάτων ἀῤῥήτων τοῦ Γαβριήλ, ἀκούσασα Κόρη Παναγία πανευπειθῶς, Θεόν ἀπεκύησας τῷ κόσμῳ· παρακοήν τε τῆς Εὔας ἠνόρθωσας.

## Ὠδή γʹ. Οὐρανίας ἁψῖδος.

Ἐκ τῆς Κρήτης προῆλθες, ὡς νεαυγής ἥλιος, πᾶσαν δέ τήν γῆν ἀνταυγείαις, τῆς πολιτείας σου, καινοποιεῖς εὐπρεπῶς, υἱέ φωτός Νικηφόρε, καί παθῶν τήν ζόφωσιν, λύεις ἑκάστοτε.

Νουνεχῶς Μοναζόντων, τρίβον στενήν ἤνυσας, πάσῃ ἐγκρατείᾳ παμμάκαρ, ἐνδιαιτώμενος, καί Ἀσωμάτων χορούς, φθάσας σαρκί Νικηφόρε, ἀληθῶς ἐτίμησας, σχῆμα ἰσάγγελον.

Ἰαμάτων ὁ ἔχων, τό ἀχανές πέλαγος, καί ἐν ἀσθενείᾳ παιδεύων, οὕς παραδέχεται, ὡς ἀνοθεύτους υἱούς, Χριστός σαρκός σοι τήν λέπραν, Νικηφόρε δέδωκε, φίλτρου εἰς πίστωσιν.

### Θεοτοκίον.

Κυριώνυμε Κόρη, κόσμου παντός Δέσποινα, τήν δεδουλωμένην ψυχήν μου, τοῖς παραπτώμασι, ταῖς Μητρικαῖς σου λιταῖς, δεῖξον παθῶν ἀνωτέραν, εἰς τήν πρώτην δόξαν μου, πάλιν ἀνάγουσα.

Ἰάτρευσον, ἡμῶν τά πάθη πρεσβείαις σου Νικηφόρε, ὁ βαστάσας τῆς σῆς σαρκός ἀνδρείως τήν λέπρωσιν, εἰς τέλειον μέτρον τῆς καρτερίας.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις ὑπό τοῦ ἱερέως.

Κάθισμα.

Ἦχος β΄. **Πρεσβεία θερμή.**

Ὀδύνας μακράς, τῆς λέπρας ἐκαρτέρησας, γενναίᾳ ψυχῇ, καί γνώμῃ καρτερόφρονι, τῷ Θεῷ φθεγγόμενος· Νικηφόρε ᾆσμα γηθόμενος, καί μεγαλύνων χείλεσιν ἁγνοῖς, τήν θείαν ἀπαύστως ἀγαθότητα.

Ὠδή δ΄. **Εἰσακήκοα Κύριε.**

Ἡδονάς τάς τοῦ σώματος, πάσῃ ἐγκρατείᾳ πολιτευόμενος· Νικηφόρε ἀπενέκρωσας, τό δέ πνεῦμα θείως ἀνεζώωσας.

Φερωνύμως τῆς κλήσεως, τῆς ἐπουρανίου μάκαρ γενόμενος· Νικηφόρε κατενίκησας, παρατάξεις πάσας τοῦ ἀλάστορος.

Ὀφθαλμῶν σου τήν πήρωσιν, φέρων Νικηφόρε ἔνδον σου ἔβλεπες· ἐπιλάμψεις θείου Πνεύματος, καί λαμπρῶν ἀκτίνων φῶς ἀπρόσιτον.

Θεοτοκίον.

Ῥητορεύσεις πεπλήρωνται, τῶν προφητευόντων ἐν σοί πανάμωμε· ἀπειράνδρως γάρ ἐκύησας, ὅνπερ πάλαι οὗτοι προηγόρευσαν.

Ὠδή ε΄. **Φώτισον ἡμᾶς.**

Ἔστησας τόν νοῦν, ἐπί πέτραν τοῦ Κυρίου σου, Νικηφόρε διό ἔμεινας στεῤῥός, ὥσπερ ἀδάμας, ἀλγηδόσι μή πτοούμενος.

Λέπραν τῆς σαρκός, ὡςἸώβ ἐνεκαρτέρησας, διό λάμπεις Νικηφόρε τῇ ψυχῇ, ὑπέρ χρυσίον, καί ἀργύριον πολύτιμον.

Ἔθηκας Θεῷ, Νικηφόρε τήν ἐλπίδα σου, ὀρφανῶν τε καί χηρῶν προασπιστῇ, πατρῴων σπλάγχνων, παρ' οὗ εὗρες τήν ἀντίληψιν.

**Θεοτοκίον.**

Πύργος ὀχυρός, κατ' ἐχθρῶν ὑπάρχεις Δέσποινα, καταράττουσα αὐτῶν τάς μηχανάς, ὡς τετοκυῖα, τόν ἰσχύϊ ἀπροσμέτρητον.

**Ὠδή στ΄. Τήν δέησιν.**

Ῥωννύμενος, τοῦ Θεοῦ τῇ χάριτι, ἐκ παθῶν τῶν χαμερπῶν Νικηφόρε· τό ἀσθενές, τῆς σαρκός σου ἐδέχθης, ὡς τῆς Θεοῦ συμπαθείας τό δώρημα· τοῦ στέργοντος τήν τῶν βροτῶν· σωτηρίαν δι' οἶκτον ἀμέτρητον.

Ὡς λύχνον σε, τῆς Τριάδος ἔγνωμεν, Νικηφόρε ἐπί ὄρους τεθέντα· καί ἱλαρῶς, διαχέοντα πᾶσι, τόν φωτισμόν καί τήν αἴγλην τοῦ Πνεύματος· τήν λύουσαν ἀχλύν παθῶν· καί φραιδρύνουσαν γῆς τά πληρώματα.

Νενίκηκας, τοῦ ἐχθροῦ ὑψώματα, Νικηφόρε ταπεινώσει σου θείᾳ· ὅτι ψυχῇ, εὐγνωμόνῳ ἐδέχθης, τῇ σῇ σαρκί ἀλγηδόνας καί στίγματα· καί γέγονας παναληθῶς· τῆς χιόνος ἀμέτρως λευκότερος.

**Θεοτοκίον.**

Κοιλία σου, ἡ ἁγία γέγονε, Μαριάμ τῶν οὐρανῶν πλατυτέρα· ὅτι Θεός, ἐν αὐτῇ ἐχωρήθη, ὅν οὐρανοῦ οὐ

χωροῦσι τά πέρατα· Αὐτόν δυσώπει μητρικῶς· τῆς παθῶν με ῥυσθῆναι στενώσεως.

Ἰάτρευσον, ἡμῶν τά πάθη πρεσβείαις σου Νικηφόρε, ὁ βαστάσας τῆς σῆς σαρκός, ἀνδρείως τήν λέπρωσιν, εἰς τέλειον μέτρον τῆς καρτερίας.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ εσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικήν παῤῥησίαν.

**Ὁ ἱερεύς μνημονεύει, ὡς δεδήλωται.**

**Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.**

Ἀσθενείας τήν στενήν ὁδόν ἐπεβάδισας, Νικηφόρε καί ὁλοσχερῶς ἠκολούθησας, τόν Δεσπότην ὡς εὐπειθής καί ἄξιος υἱός· ζυγόν τούτου δέ τόν ἐλαφρύν, καί τό φορτίον τό χρηστόν, ἐν τοῖς ὤμοις ἐβάστασας· χαίρων ὅθεν εἰσῆλθες, εἰς δόξης τῆς αἰωνίου, τάς καταπαύσεις τάς τερπνάς, χαρμοσύνως ἀγαλλόμενος.

**Προκείμενον.**

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.** (δίς)

**Στίχ.: Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοι.**

**Εὐαγγέλιον.**

**Ἐκ τοῦ Κατά Ματθαῖον (ια΄, 27-30)**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπό τοῦ Πατρός μου καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν εἰ μή ὁ Πατήρ, οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει εἰ μή ὁ Υἱός

καί ᾧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι, κἀγώ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ᾽ ὑμᾶς καί μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καί ταπεινός τῇ καρδίᾳ καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστι.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.**

**Καί νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.**

**Στίχ.: Ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου...**

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Κλίμακα οὐράνιον, τῶν ἀρετῶν Νικηφόρε, λογισμῷ θεόφρονι, καί ψυχῆς στεῤῥότητι ἀναβέβηκας· ὡς Ἰώβ ἔφερες, τῆς σαρκός γάρ λέπραν, καί ὀμμάτων σου τήν πήρωσιν· πληγάς καί στίγματα, καί τήν τῶν μελῶν πᾶσαν κάκωσιν·εἰς ὕψος δέ αἰρόμενος, τά τῶν οὐρανίων ἑώρακας· κάλλη καί τήν δόξαν, ἥν Κύριος ἡτοίμασεν Θεός, τοῖς ἐκτελοῦσιν ἑκάστοτε Αὐτοῦ τά προστάγματα.

**Εἶτα ὁ ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν Σου...**

**Κύριε ἐλέησον (12).**

**Ὠδή ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἀδιάλειπτον ἔσχες, προσευχήν ὥσπερ ἔργον ἐν βίῳ ἄριστον, δι᾽ ἧς Θεῷ ὡμίλεις, Ἀγγέλων πολιτείαν, Νικηφόρε μιμούμενος· ὁ τῶν πατέρων βοῶν, Θεός εὐλογητός εἶ.

Ἰθυνόμενος μάκαρ, παρ᾽ Ἀνθίμου τοῦ πάνυ ἐν Χίῳ ἤνυσας, ἀσκήσεως τόν δρόμον, καί τρόπαια μεγάλα, Νικηφόρε ἐπέγραψας· διό στεφάνους χειρί, ἐδέξω ζωηφόρῳ.

Νέμων θείας εὐχάς σου, Νικηφόρε Κυρίῳ τό μεσονύκτιον, μετέωρος ἐπήρθης, ξενίσας μαθητήν σου, σέ ἰδόντα Εὐμένιον· μεθ᾽ οὗ τόν ὕμνον Θεῷ, προσάγεις εἰς αἰῶνας.

### Θεοτοκίον.

Ἡ τοῦ μάννα σε στάμνος, ἀληθῶς προετύπου Παρθενομῆτορ Ἁγνή, καί γάρ ἐν τῇ γαστρί σου, ἐφύλαξας τόν Ἄρτον, τῆς ζωῆς τόν Οὐράνιον· Χριστόν ψυχάς τῶν πιστῶν, ἐκτρέφοντα ἀῤῥήτως.

### Ὠδή η΄. **Τόν Βασιλέα.**

Λόγοις σου θείοις, καί νουθεσίαις σοφαῖς σου, ταῖς ψυχαῖς θλιβομένων γλυκεῖαν, τήν παρηγορίαν, παρεῖχες Νικηφόρε.

Ἀκτημοσύνης, σέ θησαυρόν Νικηφόρε, ἀσφαλῆ καί μεγάλον πλουτοῦμεν, ὅτι τῇ καρδίᾳ, πτωχός μάκαρ ἐγένου.

Μακράν τά ὄντα, ὡσεί ἐγγύς ἐνοπτρίζου, ψυχικοῖς ὀφθαλμοῖς Νικηφόρε, ὅτι διοράσει, τῇ θείᾳ ἐκοσμήθης.

### Θεοτοκίον.

Πεποικιλμένη, τῇ θείᾳ δόξῃ Παρθένε, Βασιλεῖ δεξιόθεν παρέστης, τῷ ἐπουρανίῳ, ὡς Δέσποινα τοῦ κόσμου.

## Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ῥαδίως τό φορτίον, λέπρας βαρυτάτης, ὦ Νικηφόρε βαστάσας, εἰς πόλιν Θεοῦ, τήν ἐλευθέραν μετέβης, κούφως πτερούμενος.

Ὁ σπόρος Νικηφόρε, τοῦ Εὐαγγελίου, εἰς ἀγαθῆς καί καλῆς σου, καρδίας τήν γῆν, γεωργηθείς τόν πολύχουν, στάχυν ἐποίησεν.

Τόν λύχνον τῆς ψυχῆς σου, πλήσας Νικηφόρε, ὑπομονῆς ἐν ἐλαίῳ, Νυμφίος Χριστός, χορῷ φρονίμων παρθένων, σέ συνηρίθμησεν.

Ἡ θήκη σῶν λειψάνων, βλύζει Νικηφόρε, τοῦ Παρακλήτου τήν χάριν, ὀσμήν τε ζωῆς, τοῖς εὐλαβῶς προσκυνοῦσι, ταύτην ἑκάστοτε.

### Θεοτοκίον.

Cελήνη Θεοτόκε, ὡς παμφαεστάτη, ἐξανατέλλεις τῷ κόσμῳ, τό ἄδυτον φῶς, ὡς τετοκυῖα τῆς Δόξης, τόν μέγαν Ἥλιον.

### Ἄξιόν ἐστι ὡς ἀληθῶς...

### Καί τά παρόντα Μεγαλυνάρια, ὧν ἡ ἀκροστιχίς: «Ἰσιδώρας».

Ἵνα αἰωνίου σε χαρμονῆς, μέτοχον ποιήσῃ ὁ Δεσπότης ἐν οὐρανοῖς, μάστιγας καί θλίψεις ἐν βίῳ σοι τῆς λέπρας· ἐδίδου Νικηφόρε, πατήρ ὡς εὔσπλαγχνος.

Cτάθμην σέ ἐγκώκαμεν ἀκριβῆ, ταπεινοφροσύνης ἐγκρατείας ὑπογραμμόν, στῦλον ἀγρυπνίας ὑπακοῆς ἐργάτην· εὐχῆς τε Νικηφόρε, μέγαν διδάσκαλον.

Ἰσχύσας πρωτίστως ὡς ὁ Ἰώβ, ἐν τῇ καρτερίᾳ Νικηφόρε τῶν ἀλγεινῶν, ὅθεν σύν ἐκείνῳ ἀγάλλει αἰωνίως· ἀφράστῳ θεοπτίᾳ, μεγαλυνόμενος.

Δεῦρο φιλοχρίστων θεία πληθύς, τοῦ Χριστοῦ τόν φίλον Νικηφόρον νῦν τόν λεπρόν· ὕμνοις ἐγκωμίων κοσμήσωμεν ἀξίως, ὡς θείας καρτερίας, πύκτην πανάριστον.

Ὥριμος ὡς βότρυς ἐν τοῖς ληνοῖς, πανωδύνου λέπρας Νικηφόρε ἀποθλιβείς, ἔδωκας τόν οἶνον τῶν ἀρετῶν τόν θεῖον· εὐφραίνοντα καρδίας, τῶν εὐφημούντων σε.

Ῥάβδον τῆς δυνάμεως τοῦ Θεοῦ, ἔχων Νικηφόρε βακτηρίαν ὡς κραταιάν, ἔδραμες εὐτόνως τήν στενωπόν τοῦ βίου· εἰς θείων σκηνωμάτων πλάτος ἀπάγουσαν.

Ἄκμων ὡς ὑπάρχων ὑπομονῆς, ἄκαμπτος ἐδείχθης Νικηφόρε ἐν τοῖς δεινοῖς, καί ἐν τῷ χαλκείῳ δοκιμασθείς τῶν πόνων, χρυσίου ἀπαστράπτεις, πάνυ λαμπρότερον.

Σήμερον δυνάμεις Ἀγγελικαί, χαίρουσιν ὁρῶσαι Νικηφόρου θείαν ψυχήν, θρόνῳ τοῦ Δεσπότου σύν τούτοις παρεστῶσαν· καί δόξῃ ἐλλαμφθεῖσαν, τῆς καθαρότητος.

**Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...**

**Τρισάγιον. Ἀπολυτίκιον.**

**Ἦχος α΄. Τῆς ἐρήμου.**

Τῆς σαρκός σου τήν λέπραν, παιδιόθεν ἐβάστασας, ὥσπερ ὁ Ἰώβ Νικηφόρε, ὀφθαλμῶν τε τήν πήρωσιν· ἀλλ’

ὄμμασι καρδίας καθαροῖς, ἑώρας φῶς ἀνέσπερον Χριστοῦ, καί φωτί ἀδιαλείπτων σου προσευχῶν, φαιδρύνεις τούς βοῶντας σοι· χαίροις τῆς καρτερίας ἀθλητά, χαίροις τῆς Κρήτης βλάστημα· χαίροις θείου Ἀνθίμου μαθητά, τῆς Χίου ἐγκαλώπισμα.

**Ὁ ἱερεύς μνημονεύει καί ἀπόλυσις.**
**Πρό δέ τοῦ Δι᾽ εὐχῶν, τά ἀκόλουθα:**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου Σέ νεκρόν.**

Χαίροις καρτερίας ἀθλητά, τῆς παρηγορίας ὁ λύχνος, ἐλπίδος θεία εἰκών, πίστεως ἐκσφράγισμα, ἀγάπης πλήρωμα· προσευχῆς ὁ διδάσκαλος, κανών ἐγκρατείας, πλοῦτος πολυέραστος, τῆς καθαρότητος. Λέπρας παιδευθείς τῇ καμίνῳ, λάμπεις Νικηφόρε τῷ κόσμῳ· τοῦ χρυσοῦ ἀμέτρως θαυμαστότερον.

Δέσποινα πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων, καί τῆς Θεοτόκου, τήν σήν εἰρήνην δός ἡμῖν, καί ἐλέησον ἡμᾶς ὡς μόνος οἰκτίρμων.

Ἐκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σέ δοξάζωμεν, τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

## Δίστιχον Ἀκροτελεύτιον

Ὦ Νικηφόρε Ὅσιε, λεπρῶν ἡ κοσμιότης,
δέχου πτωχήν μου δέησιν κράζει σοι Ἰσιδώρα,
καί ἔλεός μοι πλούσιον παράσχου σαῖς πρεσβείαις.

www.tezaurliturgic.ro

ΤΕΛΟΣ

ΚΑΙ ΤΩ ΘΕΩ ΗΜΩΝ, ΔΟΞΑ ΕΙΣ ΤΟΥΣ ΑΙΩΝΑΣ.
ΑΜΗΝ.

© Ἐκδοτική παραγωγή
ΣΑΪΤΗΣ
Τηλ. 210-34.76.090